# ΔΙΩΝΟΣ

## ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΛΟΓΟΣ.

### Διογένης, ἢ περὶ Ἀρετῆς.

Διογένης ὁ Σινωπεὺς ἐκπεσὼν ἐκ τῆς πατρίδος, οὐδενὸς διαφέρων τῶν πάνυ φαύλων, Ἀθήναζε ἀφίκετο, καὶ καταλαμβάνει καὶ τὸν Μεγαρέα Εὐκλείδην· οὗτος δὲ ἔφυγε διὰ τὴν τοῦ Κύρου στρατείαν. Τῶν μὲν οὖν ἄλλων ταχὺ κατεφρόνησεν, Ἀντισθένει δὲ ἐχρῆτο, οὐκ αὐτὸν οὕτως ἐπαινῶν, ὡς τοὺς λόγους οὓς ἔλεγεν, ἡγούμενος μόνους εἶναι ἀληθεῖς, καὶ μάλιστα δυναμένους ἄνθρωπον ὠφελῆσαι. ἐπεὶ αὐτόν γε τὸν Ἀντισθένη παραβάλλων πρὸς τοὺς λόγους, ἐνίοτε ἤλεγχεν ὡς πολὺ μαλακώτερον, καὶ ἔφη αὐτὸν εἶναι σάλπιγγα, λοιδορῶν. αὐτοῦ γὰρ οὐκ ἤκουε φθεγγομένης μέγιστον. Καὶ ὁ Ἀντισθένης ὑπέμενεν αὐτὸν ταῦτα ἀκούων· πάνυ γὰρ ἐθαύμαζε τοῦ ἀνθρώπου τὴν φύσιν. ἔλεγεν οὖν, ἀμυνόμενος ἀντὶ τῆς σάλπιγγος, τοῖς σφηξὶν αὐτὸν ὅμοιον εἶναι. καὶ γὰρ τῶν σφηκῶν εἶναι τὸν μὲν ψόφον τῶν πτερῶν μικρὸν, τὸ δὲ κέντρον δριμύτατον. Ἔχαιρεν οὖν τῇ παρουσίᾳ τοῦ Διογένους ὥσπερ οἱ ἱππικοὶ, ὅταν ἵππον θυμοειδῆ λάβωσιν, ἄλλως δὲ ἀνδρεῖον καὶ φιλόπονον, οὐδὲν ἧττον ἀποδέχονται τὸ χαλεπὸν τοῦ ἵππου, τοὺς δὲ νωθροὺς καὶ βραδεῖς μισοῦσι καὶ ἀποδοκιμάζουσι. ἐνίοτε μὲν οὖν ἐπέτεινεν αὐτὸν, ἐνίοτε δὲ ἐπειρᾶτο ἀνιέναι, ὥσπερ οἱ χορδοστρόφοι τὰ νεῦρα τείνουσι, προσέχοντες μὴ ῥαγῇ. Ἐπεὶ δὲ ἀπέθανεν ὁ Ἀντισθένης, καὶ

τῶν

τῶν ἄλλων οὐδένα ἡγεῖτο συνουσίας ἄξιον, μετέβη εἰς Κόρινθον, κἀκεῖ διῆγεν, οὔτε οἰκίαν μισθωσάμενος, οὔτε παρὰ ξένῳ τινὶ καταγόμενος, ἀλλ' ἐν τῷ Κρανίῳ θυραυλῶν. ἑώρα γὰρ ὅτι πλεῖστοι ἄνθρωποι ἐκεῖ συνίασι διὰ τοὺς λιμένας καὶ τὰς ἑταίρας. καὶ ὅτι ἡ πόλις ὥσπερ ἐν τριόδῳ τῆς Ἑλλάδος ἔκειτο. Δεῖ οὖν τὸν φρόνιμον ἄνδρα ὥσπερ τὸν ἀγαθὸν ἰατρὸν, ὅπου πολλοὶ νοσοῦσιν, ἐκεῖσε ἰέναι βοηθήσοντα. οὕτως, ὅπου πλεῖστοί εἰσιν ἀφρονέστεροι, ἐκεῖ μάλιστα ἐπιδημεῖν, ἐξελέγχοντα καὶ κολάζοντα τὴν ἄνοιαν αὐτῶν. Ἐπεὶ δὲ ἧκεν ὁ τῶν Ἰσθμίων χρόνος, καὶ πάντες ἦσαν ἐν Ἰσθμῷ, κατέβη καὶ αὐτός. εἰώθει γὰρ ἐπισκοπεῖν ἐν ταῖς πανηγύρεσι τὰς σπουδὰς τῶν ἀνθρώπων καὶ τὰς ἐπιθυμίας, καὶ πρὸς ἅτινα ἀποδημοῦσι, καὶ ἐπὶ τίσι μέγα φρονοῦσι. παρεῖχε δὲ καὶ αὐτὸν τῷ βουλομένῳ ἐντυγχάνειν, καὶ ἔλεγε θαυμάζειν, ὅτι, εἰ μὲν ἔφη ὀδόντας ἰᾶσθαι, πάντες ἂν αὐτῷ προσῄεσαν οἱ δεόμενοι ὀδόντας ἐξελέσθαι. καὶ νὴ Δία, εἰ ὑπέσχετο ὀφθαλμοὺς θεραπεύειν, πάντες ἄνθρωποι ὀφθαλμοὺς αὐτῷ ἐπεδείκνυον. ὁμοίως δὲ ἢ σπληνὸς, ἢ ποδάγρας, ἢ κορύζης εἰδέναι φάρμακον. ἐπεὶ δὲ ἔφη παύσειν τοὺς πεισομένους αὐτῷ, ἀγνοίας, καὶ πονηρίας, καὶ ἀκολασίας, οὐδεὶς αὐτῷ προσεῖχεν, οὐδὲ ἐκέλευσεν ἰᾶσθαι αὐτὸν, οὐδ' εἰ πολὺ προσλήψεσθαι ἀργύριον ἔμελλεν. ὡς ἧττον ὄντος τούτων, ἢ ἐκείνοις ἐνοχλούμενος, ἢ χαλεπώτερον ἀνθρώπῳ σπληνὸς οἰδοῦντος, ἢ διεφθαρμένου ὀδόντος, ἢ ψυχῆς ἄφρονος, καὶ ἀμαθοῦς, καὶ δειλῆς, καὶ θρασείας, καὶ φιληδόνου, καὶ ἀνελευθέρου, καὶ ὀργίλης, καὶ λυπηρᾶς, καὶ πανούργου, καὶ πάντα τρόπον διεφθαρμένης. Καὶ δὴ καὶ τότε ἦν περὶ τὸν νεὼν τοῦ Ποσειδῶνος, πολλῶν σοφιστῶν κακοδαιμόνων βοώντων καὶ λοιδορουμένων ἀλλήλοις, καὶ τῶν λεγομένων μαθητῶν ἄλλος ἄλλῳ μαχομένου. πολλῶν δὲ συγγραφέων ἀναγινωσκόντων ἀναίσθητα συγγράμματα, πολλῶν δὲ ποιητῶν ποιήματα ᾀδόντων,

καὶ

καὶ τούτους ἐπαινούντων ἑτέρων, πολλῶν δὲ θαυματοποιῶν θαύματα ἐπιδεικνυμένων, πολλῶν δὲ τερατοσκόπων τέρατα κρινόντων, μυρίων δὲ Ῥητόρων δίκας στρεφόντων, οὐκ ὀλίγων δὲ καπήλων διακαπηλευόντων ὅτι ἂν τύχῃ ἕκαστος. Εὐθὺς οὖν καὶ αὐτῷ τινὲς προσῆλθον, τῶν μὲν Κορινθίων οὐδείς, οὐδὲ γὰρ οὐδὲν ᾤοντο οὐδὲν ὠφεληθήσεσθαι, ὅτι καθημέραν ἑώρων αὐτὸν ἐν Κορίνθῳ. τῶν δὲ ξένων ἦσαν οἱ προσιόντες, καὶ τούτων ἕκαστος βραχύ τι ἀκούσας, ἢ εἰπὼν, ἀπῄει φοβούμενος τὸν ἔλεγχον. Διὰ τοῦτο ἔφη ὁ Διογένης προσεοικέναι τοῖς κυσὶ τοῖς Λάκωσι· καὶ γὰρ τούτους ὅταν στῶσιν εἰς τὰς πανηγύρεις, πολλοὺς μὲν εἶναι τοὺς καταψύχοντας καὶ προσπαίζοντας, μηδένα δὲ ὠνεῖσθαι ῥᾳδίως, διὰ τὸ μὴ ἐπίστασθαι χρῆσθαι. Πυθομένου δέ τινος, εἰ καὶ αὐτὸς ἥκοι τὸν ἀγῶνα θεασόμενος; οὐκ ἔφη, ἀλλ' ἀγωνιούμενος. καὶ ὃς ἐγέλασέ τε, καὶ ἤρετο αὐτόν· τίνας ἔχοι τοὺς ἀνταγωνιστάς; ὁ δὲ, ὥσπερ εἰώθει ὑποβλέψας, τοὺς χαλεπωτάτους, εἶπε, καὶ ἀμαχωτάτους, οἷς οὐδεὶς δύναται ἀντιβλέψαι τῶν Ἑλλήνων, οὐ μέντοι διατρέχοντας ἢ παλαίοντας ἢ διαπηδῶντας, οὐδὲ πυκτεύοντας καὶ ἀκοντίζοντας καὶ δισκεύοντας, ἀλλὰ τοὺς σώφρονας. Τίνας μὴν ἤρετο; τοὺς πόνους ἔφη, μάλα ἰσχυρούς τε καὶ ἀνικήτους ὑπὸ ἀνθρώπων ἐμπεπλησμένων καὶ τετυφωμένων, καὶ τὰς μὲν ἡμέρας ὅλας ἐσθιόντων, ἐν δὲ ταῖς νυξὶ ῥεγχόντων, ὑπὸ δὲ ἀνδρῶν ἡττωμένων λεπτῶν καὶ ἀσάρκων, καὶ τῶν σφηκῶν τὰς γαστέρας μᾶλλον ἐντετμημένων. ἢ σὺ οἴει τούτων τι ὄφελος εἶναι τῶν τὰς μεγάλας κοιλίας ἐχόντων, οὓς ἐχρῆν περιαγαγόντας, καὶ περικαθάραντας ἐκβαλεῖν, μᾶλλον δὲ καταθύσαντας καὶ κατατεμόντας εὐωχεῖσθαι, καθάπερ οἶμαι τὰ τῶν κητῶν κρέα τοὺς νῦν ἔχοντας ἕψοντας ἁλὶ καὶ θαλάσσῃ, τὴν δὲ πιμελὴν τήξαντας, ὥσπερ ἐν Πόντῳ παρ' ἡμῖν τὸ τῶν δελφίνων στέαρ, ἀλείφεσθαι τοὺς δεομένους. οἶμαι γὰρ αὐτοὺς τῶν ὑῶν ἧττον ἀναψυχὴν ἔχειν. Ὁ δὲ ἀνὴρ ὁ γενναῖος ἡγεῖται τοὺς πόνους ἀνταγωνιστὰς

νιστὰς μεγίστους, καὶ τούτοις ἀεὶ φιλεῖ μάχεσθαι καὶ τὴν νύκτα καὶ τὴν ἡμέραν, οὐχ ὑπὲρ σελίνου ὥσπερ αἱ γυναῖκες, οὐδὲ κοτίνου καὶ πίτυος, ἀλλ' ὑπὲρ εὐδαιμονίας καὶ ἀρετῆς παρὰ πάντα τὸν βίον. οὐχ ὅταν Ἠλεῖοι προείπωσιν, ἢ Κορινθίων ἢ τὸ κοινὸν τῶν Θετταλῶν, μηδένα αὐτῶν φοβούμενον, μηδὲ εὐχόμενον ἄλλῳ λαχεῖν, ἀλλὰ προκαλούμενον ἐφεξῆς ἅπαντα, καὶ λιμῷ φιλονεικοῦντα καὶ ψύχει καὶ δίψει, ὑπομένοντα, κἂν δέῃ μαστιγούμενον καρτερεῖν, καὶ τεμνόμενον καὶ καιόμενον, μηδὲν μᾶλλον ἐνδιδόντα, πενίαν δὲ καὶ φυγὴν καὶ ἀδοξίαν καὶ τὰ τοιαῦτα μηδὲν ἡγεῖσθαι δεινὸν αὐτῶν, ἀλλὰ πάνυ κοῦφα, καὶ πολλάκις παίζειν ἐν αὐτοῖς τὸν ἄνδρα τὸν τέλειον, ὥσπερ οἱ παῖδες τοῖς ἀστραγάλοις καὶ ταῖς σφαίραις ταῖς ποικίλαις. δοκοῦσι καὶ γὰρ μηδέν, ἔφη, δεινοί, καὶ ἀνυπόστατοι πᾶσι τοῖς κακοῖς οἱ ἀνταγωνισταὶ οὗτοι. ἐὰν δέ τις αὐτῶν καταφρονήσῃ θαρρῶν, ὄψεται δειλοὺς καὶ ἀδυνάτους ἄνδρας ἰσχυροὺς κρατῆσαι, μάλιστα τοῖς κυσὶν ὁμοίως· οἳ τοὺς μὲν φεύγοντας ἐπιδιώκουσι, καὶ δάκνουσι, καὶ διέσπασαν οὓς κατέλαβον· τοὺς δὲ ἐπιόντας καὶ μαχομένους φοβοῦνται καὶ ἀναχωροῦσι, τελευτῶντες δὲ σαίνουσιν, ἐπειδὰν συνήθεις γένωνται. Οἱ δὲ πολλοὶ ἄνθρωποι ἐκπεπληγμένοι αὐτοὺς καὶ ἀεί ποτε φεύγοντες κρίνουσιν, οὐδέ ποτε ἐναντίον βλέποντες. καὶ γὰρ δὴ ὥσπερ οἱ πυκτεύειν εἰδότες, ἐὰν μὲν προλάβωσι τὸν ἀνταγωνιστήν, οὐ παύονται τὴν ἀρχήν, πολλάκις δὲ καὶ ἐπέβησαν αὐτοὶ καταβαλόντες. ἐὰν δὲ ἀποχωρῶσι φοβούμενοι, τότε ἰσχυροτάτας πληγὰς λαμβάνουσιν. οὕτως ἐὰν μέν τις τοὺς πόνους δέχηται καταφρονῶν καὶ πλησιάζῃ προθύμως, οὐ πάνυ ἰσχύουσι πρὸς αὐτόν. ἐὰν δὲ ἀφιστῆται καὶ ἀναχωρῇ, τῷ παντὶ μείζους καὶ σφοδρότεροι δοκοῦσι. τοῦτο δ' ἂν ἴδῃς καὶ ἐπὶ τοῦ πυρὸς γινόμενον, ἐὰν σφόδρα ἐπιβῇς ἔσβεσας τὸ πῦρ, ἐὰν δὲ ὑποπτεύων καὶ δεδοικώς, σφόδρα ἐκαύθης, ὥσπερ ἔνιοι παίζοντες οἱ παῖδες τῇ γλώττῃ τὸ πῦρ σβεννύουσιν. Οὗτοι

μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ Ε. ΙΓΑ της Κ.τ.Ε. ΙΩΑΝΝΙΝΑ 2006

μὲν οὖν οἱ ἀνταγωνισταὶ σχεδὸν ὅμοιοί εἰσι τοῖς πυγμάχοις παίοντές τε καὶ ἄγχοντες καὶ διασπῶντες καὶ ἀποκτεινύοντες ἐνίοτε. ἑτέρα δὲ δεινοτέρα μάχη καὶ ἀγὼν ἐστὶν οὐ μικρὸς, ἀλλὰ πολὺ τούτων μείζων καὶ ἐπικινδυνώτερος ὁ πρὸς τὴν ἡδονὴν, οὐκ ἄντικρυς βιαζομένην, ἀλλ' ἐξαπατῶσαν καὶ γοητεύουσαν δεινοῖς φαρμάκοις, οὐχ οἵων Ὅμηρός φησιν, αὖθις δὲ δειμεία μάχη παρὰ νηυσὶν ἐτύχθη, ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνησι μάχοντο, καὶ ξίφεσι μεγάλοις. Οὐχ οὗτος ὁ τρόπος τῆς μάχης· οὐ γὰρ ἄντικρυς βιάζεσθαι τὴν ἡδονὴν, ἀλλὰ ἐξαπατᾶν καὶ γοητεύειν δεινοῖς φαρμάκοις, ὥσπερ Ὅμηρός φησι τὴν Κίρκην τοὺς τοῦ Ὀδυσσέως ἑταίρους καταφαρμάξαι. κἄπειτα τοὺς μὲν σῦς αὐτῶν, τοὺς δὲ λύκους γενέσθαι, τοὺς δὲ ἄλλ' ἄττα θηρία. Τοιοῦτόν ἐστι τὸ χρῆμα τῆς ἡδονῆς, οὐχ ἁπλῶς ἐπιβουλεύουσα, ἀλλὰ παντὶ τρόπον διά τε τῆς ὄψεως καὶ ἀκοῆς, ἢ ὀσφρήσεως, ἢ γεύσεως, ἢ ἁφῆς, ἔτι δὲ σιτίοις καὶ ποτοῖς καὶ ἀφροδισίοις διαφθείραι πειρωμένη, ὁμοίως μὲν ἐγρηγορότας, ὁμοίως δὲ κοιμωμένους. οὐδὲ γὰρ ὥσπερ πρὸς τοὺς πολεμίους ἔνι φύλακας καταστήσαντας καθεύδειν, ἀλλὰ μάλιστα δὴ πάντων τότε ἐπιτίθεται, τὰ μὲν αὐτὸ τὸν ὕπνον μαραίνουσα καὶ δουλουμένη, τὰ δὲ ἐπιπέμπουσα ὀνείρατα πονηρὰ καὶ ἐπίβουλα, ἀναμιμνήσκοντα αὐτῆς. Ὁ μὲν οὖν πόνος διὰ τῆς ἁφῆς γίνεται, ὡς πολὺ καὶ ταύτῃ πρόσεισιν. ἡ δ' ἡδονὴ κατὰ πᾶσαν αἴσθησιν ὁπόσας ἄνθρωπος αἰσθήσεις ἔχει. καὶ δεῖ τοῖς μὲν πόνοις ἀπαντᾶν καὶ συμπλέκεσθαι, τὴν δὲ ἡδονὴν φεύγειν ὡς πορρωτάτω καὶ μηδὲν ὅλως, ἢ τἀναγκαῖα ὁμιλεῖν. καὶ ἐνταῦθα ὁ κράτιστος ἀνήρ· κράτιστος δὲ σχεδὸν ὃς ἂν δύνηται πλεῖστον ἀποφεύγειν τὰς ἡδονάς. οὐδὲ γάρ ἐστιν ἡδονῇ συνόντα, ἢ καὶ πειρώμενον συνεχῶς μὴ οὐ παντάπασιν ἁλῶναι. Ὅταν οὖν κρατήσῃ καὶ περιγένηται τῆς ψυχῆς τοῖς φαρμάκοις, γίνεται τὸ λοιπὸν ἤδη τὸ τῆς Κίρκης. ἢ πλήξασα ῥᾳδίως τῇ ῥάβδῳ εἰς συφεόν τινα ἐλαύνει καὶ καθείργνυσι.

καὶ τὸ λοιπὸν ἀπ' ἐκείνου ἤδη ὁ ἄνθρωπος διατελεῖ σῦς ὢν ἢ λύκος. γίνονται δὲ καὶ ὄφεις ὑφ' ἡδονῆς ποικίλοι καὶ ὀλέθριοι, καὶ ἄλλ' ἄττα ἑρπετὰ, καὶ θεραπεύουσιν ἐκείνην ἀεὶ περὶ τὰς θύρας ἰόντες, καὶ ἐπιθυμοῦντες μὲν τῆς ἡδονῆς, καὶ λατρεύοντες ἐκείνῃ, μυρίους δὲ ἄλλους πόνους ἔχοντες. ἡ γὰρ ἡδονὴ κρατήσασα αὐτῶν καὶ παραλαβοῦσα, τοῖς πόνοις παραδίδωσι τοῖς ἐχθίστοις καὶ χαλεπωτάτοις. Τοῦτον δὴ τὸν ἀγῶνα ἐμοὶ καρτερὸν ὄντα καὶ παράδοξον πρὸς ἡδονὴν καὶ πόνον, οὐδεὶς προσέχει τῶν ἀθλίων ἀνθρώπων, ἀλλὰ τοῖς ἀνδραπόδοις, τοῖς πηδῶσι, καὶ τρέχουσι, καὶ χορεύουσιν. οὐδὲ γὰρ τὸν Ἡρακλέα ἑώρων ἀγωνιζόμενον καὶ πονοῦντα. οὐδὲ ἔμελλεν αὐτοῖς. ἀλλὰ καὶ τότε ἴσως ἀθλητάς τινας ἐθαύμαζον, Ζίτιν, καὶ Κάλαϊν, καὶ Πηλέα, καὶ ἄλλους τοιούτους δρομέας τινὰς καὶ παλαιστάς· καὶ τοὺς μὲν ἐπὶ κάλλει, τοὺς δὲ ἐπὶ πλούτῳ ἐθαύμαζον, καθάπερ Ἰάσονα καὶ Κινύραν. Τοῦ δὲ Πέλοπος πέρι ἔλεγον, ὅτι καὶ τὸν ὦμον ἐλεφάντινον ἔχει, ὥσπερ τι ὄφελος ἀνθρώπου χρυσῆν χεῖρα, ἢ ἐλεφαντίνην ἔχοντι, ἢ ὀφθαλμοὺς ἀδάμαντος ἢ σμαράγδου. τὴν δὲ ψυχὴν οὐκ ἐγίνωσκον αὐτοῦ ὁποίαν τινὰ εἶχε. Τὸν δὲ Ἡρακλέα πονοῦντα μὲν καὶ ἀγωνιζόμενον ἠλέουν, καὶ ἔφασαν αὐτὸν ἀνθρώπων ἀθλιώτατον, καὶ διὰ τοῦτο ἄθλους ἐκάλουν τοὺς πόνους αὐτοῦ καὶ τὰ ἔργα, ὡς τὸν ἐπίπονον βίον ἄθλιον ὄντα. Ἀποθανόντα δὲ πάντων μάλιστα τιμῶσι, καὶ θεὸν νομίζουσι, καὶ φασὶν Ἥβῃ συνοικεῖν, καὶ τούτῳ πάντες εὔχονται, ὅπως αὐτοὶ μὴ ἔσονται ἄθλιοι τῷ πλεῖστα ἀθλήσαντι. τὸν δὲ Εὐρυσθέα οἴονται κρατεῖν τούτου, καὶ ἐπιτάττειν, ὃν οὐδενὸς ἄξιον νενομίκασιν, οὐδὲ εὔξατο, οὐδὲ ἔθυσεν οὐδεὶς οὐδέ ποτε Εὐρυσθεῖ. Πλὴν ὅγε Ἡρακλῆς περιῄει τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν ἅπασαν, οὐδὲν ἂν τούτοις ὅμοιος τοῖς ἀθληταῖς. πόθεν γὰρ ἂν ἠδυνήθη προσελθεῖν σάρκας τοσαύτας ἔχων, ἢ τοσούτων κρεῶν δεόμενος, ἢ βαθέως οὕτως ὕπνον καθεύδων. ἀλλ' ἄγρυπνος καὶ λεπτὸς ὥσπερ οἱ

λίον.

λέοντες, ὀξὺ βλέπων, ὀξὺ ἀκούων, οὔτε χειμῶνος, οὔτε καύματος φροντίζων, οὐδὲ δεόμενος στρωμάτων, ἢ χλανίδων, ἢ ταπήτων, ἀλλὰ δέρμα ἀμπεχόμενος ῥυπαρὸν, λιμοῦ πνέων, τοῖς ἀγαθοῖς βοηθῶν, τοὺς κακοὺς κολάζων. καὶ Διομήδη δὲ τὸν Θρᾷκα, ὅτι ποικίλην εἶχεν ἐσθῆτα, καὶ καθῆστο ἐπὶ θρόνου πίνων δι' ἡμέρας καὶ τρυφῶν καὶ τοὺς ξένους ἠδίκει, καὶ τοὺς ὑφ' αὑτὸν ὄντας πωλεῖν ἠρημένον, καὶ ἵππους τρέφειν, τῷ ῥοπάλῳ παίων διέρραξεν ὥσπερ πίθον παλαιόν. καὶ τὸν Γηρυόνην πλείστους βοῦς ἔχοντα, καὶ τὸν πρὸς ἑσπέρας ἁπάντων πλουσιώτατόν τε καὶ ὑπερηφανώτατον, αὐτόν τε ἀπέκτεινε καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς βοῦς ἀπήλασε. τὸν δὲ Βούσιριν εὑρὼν πάνυ ἀμελῶς ἀθλοῦντα, καὶ δι' ὅλης ἡμέρας ἐσθίοντα, διέρρηξεν ἐπὶ τὴν γῆν, καταβαλὼν ὥσπερ τοὺς θυλάκους τοὺς σφόδρα γέμοντας· καὶ τῆς Ἀμαζόνος ἔλυσε τὴν ζώνην θρυπτομένης αὐτῷ καὶ νομιζούσης ὅτι τῷ κάλλει κρατήσει· συγγενόμενος δὲ ἔδειξεν ὅτι οὐκ ἄν ποτε ἡττηθείη κάλλους, οὐδ' ἂν μείνειε χάριν γυναικὸς πρὸς τῶν αὑτοῦ κτημάτων οὐδέποτε. τὸν δὲ Προμηθέα σοφιστήν τινα ἐμοὶ δοκεῖν καταλαβὼν ὑπὸ δόξης ἀπολλύμενον, καὶ νῦν μὲν οἰδοῦντος αὐτῷ καὶ αὔξοντος τοῦ ἥπατος ὁπότε ἐπαινοῖτο, πάλιν δὲ φθίνοντος ὁπότε ψέγοιεν αὐτὸν, ἐλώσας καὶ φοβήσας ἔπαυσε τοῦ τύφου καὶ τῆς φιλονεικίας, καὶ οὕτως ᾤχετο ὑγιᾶ ποιήσας. Ταῦτα μὲν οὖν ἔπραττεν οὐδὲν Εὐρυσθεῖ χαριζόμενος. τὰ δὲ μῆλα τὰ χρύσεα ὅσ' ἐκόμισε, λαβὼν ἔδωκεν ἐκείνῳ τὰ τῶν ἑσπερίδων, οὐδὲν γὰρ αὐτὸς ἐδεῖτο, ἀλλ' ἐκέλευσε κλαίειν ἔχοντα, μηδὲν γὰρ ὄφελος εἶναι ἀνθρώπῳ χρυσῶν μήλων. μηδὲ γὰρ ταῖς ἑσπερίσι χρῆσθαι. τέλος δὲ ἐπεὶ βραχύτερος ἐγένετο αὑτοῦ καὶ ἀσθενέστερος, φοβούμενος μὴ οὐ δύνηται ζῆν ὁμοίως, ἔπειτα οἶμαι νόσου τινὸς καταλαβούσης, κάλλιστα ἀνθρώπων ἐθεράπευσεν ἑαυτὸν, πυρὰν νήσας ἐν τῇ Οἴ-

ξύλων ὡς ξηροτάτων, καὶ δόξας ὅτι οὐδὲν ἄξιον ἐφρόντιζε τοῦ πυρετοῦ. πρότερον δέ, ἵνα μὴ δοκῇ σεμνὰ καὶ μεγάλα ἔργα διαπράττεσθαι, τὴν κόπρον ἀπελθὼν τὴν κειμένην παρ' Αὐγείᾳ πολύ τι χῶμα πολλῶν ἐτῶν ἐκείνην ἐκφορεῖ καὶ ἐκάθηρεν. ἡγεῖτο γὰρ οὐχ ἧττον αὐτῷ διαμαχητέον εἶναι καὶ πολεμητέον πρὸς τὴν δόξαν, ἢ τὰ θηρία, ἢ τῶν ἀνθρώπων τοὺς κακούργους. Ταῦτα δὲ λέγοντος τοῦ Διογένους περιΐσταντο πολλοί, καὶ πάνυ ἡδέως ἠκροῶντο τῶν λόγων· ἐννοήσας δὲ οἶμαι τὸ τοῦ Ἡρακλέους, τοὺς μὲν λόγους ἀφῆκε, χαμαὶ δὲ καθεζόμενος ἐποίει τι τῶν ἀδόξων. Εὐθὺς οὖν πολλοὶ κατεφρόνουν αὐτοῦ, καὶ μαίνεσθαι ἔφασαν· καὶ πάλιν ἐθορύβουν οἱ σοφισταί, καθάπερ ἐν τέλματι βάτραχοι, τὸν ὕδρον οὐχ ὁρῶντες.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
10767
Ε. ... ΙΩΑΝΝΙΝΑ 2006